ἦν ἄλλο τὸ αἴσθημα, ἤ τοῦ ἐπὶ τῇ τῶν Αἰσθητηρίων ἀλλοιώσει καταστήματος τῆς ψυχῆς ἐπίγνωσις, (§. κϛ΄.). Ἑκάστου οὖν τὴν καθ᾽ ἑαυτὸν κατάστασιν ἐπικρίνειν ἔχοντος, τὴν δὲ τοῦ ἑτέρου μηδενὸς, τίς ἂν ἡμῖν τὰς τῶν πολλῶν ἀλλοιώσεις παραθέμενος, τὸ ζητούμενον οἷος τ᾽ ἂν ᾖ ἐπιλύσασθαι; (1).

(1) Δύο τινὲς τ᾽ αὐτὸ σῶμα θεώμενοι, τὴν ἐπ᾽ αὐτῷ χροιὰν ἐρυθρὰν καλεῖσθαι ἀκούουσιν. Ἑκάτερος οὖν, ὁσάκις ἂν τὴν ἧς ἤδη ἀντιλαμβάνεται αἴσθησιν, κατὰ τὴν ἑαυτοῦ ψυχὴν αἴσθηται ἐπανιοῦσαν, χροιὰν ἐρυθρὰν θεᾶσθαι φήσει. Πότερον δ᾽ ἆρα τὸ αὐτὸ αἴσθημα τυγχάνειγε ὄν, ὅπερ ὑπὸ τῷ αὐτῷ ὀνόματι ἄμφω διερμηνεύουσι; τουτέστιν ἆρ᾽ ἑκατέρου ἡ ψυχὴ, ἀμφοτέρων ἐρυθρὰν θεᾶσθαι τὴν χροιὰν λεγόντων, τὸν αὐτὸν διατίθεται τρόπον; οὐκ ἔστιν ὅλως οὐδεμιᾷ μηχανῇ διορίσασθαι. Τὰ δ᾽ αὐτὰ, καὶ περὶ τῶν κατὰ τὰς λοιπὰς Αἰσθήσεις ἀντιλήψεων ῥητέον. Γραβεζάνδ. Λογ. Μέρ. Α΄. Κ. ϛ΄. §. 399.

ΚΕΦΑ-



# ΚΕΦΑΛΑΙΟΝ ΔΕΥΤΕΡΟΝ.

## Περὶ ἐννοιῶν εἰδῶν τε διαφορᾶς, καὶ τρόπων παντοίων.

§. μ΄.

Τῶν ἐννοιῶν αἱ μὲν ὕλης πάντη ἀπηλλαγμέναι ἴχνους παντὸς παριστάμεναι τῇ ψυχῇ, εἰλικρινῆ νοήματα καλοῦνται, καὶ ἔννοιαι καθαραί· οἷαι ἡ τοῦ ΘΕΟΥ, ἡ τῆς ψυχῆς, ἡ τοῦ ἐν αὐτῇ νοῦ, ἡ τῆς βουλήσεως, καὶ τῶν ἐξ ἐπιστασίας (§. κα΄.) ἄλλαι συχναί. Αἱ δὲ οὐκ ἄνευ ὑλικοῦ τινος ἐκφερόμεναι πάθους, προσλήψεις μὴ καθαραί· οἷαι μάλιστα, ἃς ἐκ τῆς τρίτης τῶν ἰδεῶν ἀρχῆς (§. κϛ΄.) ἀρυόμεθα.

§. μα΄. Διτταὶ δὲ αὗται· αἱ μὲν γὰρ διά τινος τῶν ἐν τοῖς αἰσθητηρίοις κινήσεως, καὶ ταῦτα αἰσθήματα (§. κη΄.), τὰ μὲν τῆς ἔξω, τὰ δὲ τῆς ἐνδοτέρας αἰσθητικῆς δυνάμεως (§. κζ΄.) εἶναι λεγόμενα. Αἱ δὲ κατ᾽ ἐπιστροφὴν ψυχῆς, ἐπὶ τὰ ἀλλοτέ ποτε γεγονότα τῶν αἰσθημάτων, καὶ ταῦτα φαντάσματα. (§. λζ΄.). Οἷς ἐὰν προσῇ τό τε ὑπὸ τῆς ψυχῆς οἴκοθεν κινουμένης ἀνακαλεῖσθαι, καὶ δὴ καὶ ἡ κατὰ συνείδησιν ἐπανάληψις τοῦ καὶ ἄλλοτε προσειλῆφθαι τὰ αὐτὰ (§. θ΄), καὶ μνῆμαι. Ἀλλ᾽ αἱ μνῆμαι οὐδὲν ἧττον εἰσὶ, καὶ τῶν αὐλοτέρων ἐπενθυμήσεων. (1).

§. μβ΄. Ἔτι αἱ μὲν τῶν ἐννοιῶν ἁπλαῖ, αἱ δὲ μὴ ἁπλαῖ. (2). Καὶ ἁπλαῖ μὲν αἱ πρώτισται καὶ στοιχειώδεις, ἃς εἰς ἁπλουστέρας ἄλλας ἀναλύειν ἀμήχανον. Τὴν γὰρ τῆς νοήσεως φέρε ἔννοιαν, ἢ τὴν τῆς θερμότητος πρόσληψιν, ἢ τῆς λευκό-



(1) „Εἰ γάρ τις εἴποι μὴ τῇ ψυχῇ „τὴν μνήμην ἀνήκειν, τῷ δὲ ταῖ σώματι· καὶ ὅλως τῆς τοῦ Ἐγκεφάλου „συστάσεως αὐτὴν ἐξηρτῆσθαι, μᾶζοσι „δήπου ἐνοχεθήσεται ταῖς ἀπορίαις.... „Μὴ γὰρ ἐξὸν οὕτως αὐτῷ μνήμην ὅ„λως ἀποδοῦναι ταῖς χωρισταῖς σωμά„των οὐσίαις, καὶ ἡ τῶν Νόων ἐκείνων „νόησις ἀθρόα οἰχήσεται. (Γραβε„ζάνδ. Στοιχ. τῆς Φιλοσ. §. 193.). „Ἐννόει μοί τι νοερὸν ὄν, τὸ μηδεμίαν „κατὰ τὸ δοκοῦν μηδὲ σώζειν παροῦσαν, „μηδὲ ἀποῦσαν, ἐξ ὧν πρὶν εἶχεν, ἀ„νακαλεῖν ἰδέαν δυνάμενον, καὶ ἐπι„στήμης τινὸς ἀνοίας ἔξεις ἐπίνοιαν. (Αὐτ. §. 104.).

(2) Διὰ δὴ τοῦτο, οὐχ ἁπλῆν τὴν ἔννοιαν ἐν γένει, οὐδ᾽ ἁπλῆν πρόσληψιν (ὡς κοινῇ εἰώθασιν) ὀνομάζειν αὐτοὶ ἀξιοῦμεν, ἀλλ᾽ ἔννοιαν πρώτην (§. β΄.).